Ἐλέησόν με κε, ἴδε τὴν ταπείνωσίν μου ἐκ
τῶν ἐχθρῶν μου.
Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,
ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου
ἐν ταῖς πύλαις τῆς θυγατρὸς σιὼν.
Ἀγαλλιασώμεθα ἐπὶ τῷ σωτηρίῳ σου, ἐνε-
πάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν.
Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη
ὁ πούς αὐτῶν.
Γινώσκεται κύριος κρίματα ποιῶν, ἐν τοῖς
ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.
Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην,
πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ.
Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός,
ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.
Ἀνάστηθι κε μὴ κραταιούσθω ἄνθρωπος, κρι-
θήτωσαν ἔθνη ἐνώπιόν σου.
Κατάστησον κε νομοθέτην ἐπ' αὐτούς, γνώ-
τωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.
Ἵνα τί κύριε ἀφέστηκας μακρόθεν, ὑπερο-
ρᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν;
Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται